λῶν σκώπτεται, ἵστατο τολμηρῶς θεωρῶν πάντας. ὁ δὲ Ξάν-
θος εἰς τὴν σχολὴν προελθὼν, καὶ τὴν μελέτην τελειώσας, ἧκε
σὺν τοῖς φίλοις εἰς τὴν ἀγορὰν, καὶ διελθὼν ὡς εἶδε τοὺς δύο
παῖδας ἐν εὐπρεπείᾳ περιεσταλμένους, μέσον δὲ τὸν Αἴσωπον,
ἐθαύμασε τὴν τοῦ ἐμπόρου ἐπίνοιαν, καὶ φησὶ πρὸς τοὺς
φίλους, βαβαὶ τῆς πανουργίας. εἶτα ἐπιστὰς ἑνὶ ἐξ αὐτῶν
ἐπυνθάνετο, πόθεν ἄρα τυγχάνει. ὁ δὲ φησὶ καππαδὸξ εἰμὶ
τῷ γένει. καὶ ὁ Ξάνθος, τί οὖν οἶδας ποιεῖν. ὁ δὲ λέγει
πάντα. ὁ δὲ Αἴσωπος ἀκούσας, ἐμειδίασεν. οἱ δὲ σχολασι-
κοὶ ὡς εἶδον αὐτὸν γελάσαντα, καὶ τοὺς ὀδόντας αὐτοῦ ἐξαί-
φνης φανέντας, ἐδόκουν τέρας θεωρεῖν. οἱ δὲ λέγουσι πρὸς ἀλ-
λήλους, οὐχὶ κήλη ἐστὶν ὀδόντας ἔχουσα. καὶ τὶς ἐξ αὐτῶν
ἔφη, τί ἄρα ἰδὼν ἐγέλασεν. ἕτερος λέγει, οὐ γελᾷ, ἀλλὰ ῥι-
γᾷ, γνώσωμεν δὲ τί λαλεῖ. καὶ προσελθὼν εἷς ἐξ αὐτῶν,
λέγει τῷ Αἰσώπῳ, κομψότατε, εἰς τί ἐγέλασας. ὁ δὲ φη-
σὶν, ὑποχώρει θαλάσσιον πρόβατον. Διαπορήσας οὖν ὁ σχο-
λαστικὸς ἐπὶ τούτῳ, ἀνεχώρησεν. ὁ δὲ Ξάνθος λέγει τῷ